# Appendice 1

## Gv 18,1-14:

| | | | |
|---|---|---|---|
| X | 18,1 | a | Ταῦτα εἰπών Ἰησοῦς ἐξῆλθεν |
| | | b | σὺν τοῖς μαθηταῖς αὐτοῦ |
| | | c | πέραν τοῦ χειμάρρου τοῦ Κεδρὼν |
| | | d | ὅπου ἦν κῆπος, |
| | | e | εἰς ὃν εἰσῆλθεν αὐτὸς |
| | | f | καὶ οἱ μαθηταὶ αὐτοῦ. |
| | 18,2 | a | Ἤιδει δὲ καὶ Ἰούδας |
| | | b | ὁ παραδιδοὺς αὐτὸν τὸν τόπον, |
| | | c | ὅτι πολλάκις συνήχθη Ἰησοῦς ἐκεῖ |
| | | d | μετὰ τῶν μαθητῶν αὐτοῦ. |
| | 18,3 | a | ὁ οὖν Ἰούδας λαβὼν τὴν σπεῖραν |
| | | b | καὶ ἐκ τῶν ἀρχιερέων καὶ ἐκ τῶν Φαρισαίων ὑπηρέτας |
| | | c | ἔρχεται ἐκεῖ μετὰ φανῶν |
| | | d | καὶ λαμπάδων καὶ ὅπλων. |
| A | 18,4 | a | Ἰησοῦς οὖν εἰδὼς πάντα τὰ ἐρχόμενα ἐπ᾽ αὐτὸν |
| | | b | ἐξῆλθεν |
| | | c | καὶ λέγει αὐτοῖς· |
| | | d | τίνα ζητεῖτε; |
| | 18,5 | a | ἀπεκρίθησαν αὐτῷ· |
| | | b | Ἰησοῦν τὸν Ναζωραῖον. |
| | | c | λέγει αὐτοῖς· |
| | | d | ἐγώ εἰμι. |
| | | e | εἱστήκει δὲ καὶ Ἰούδας |
| | | f | ὁ παραδιδοὺς αὐτὸν μετ᾽ αὐτῶν. |
| | 18,6 | a | ὡς οὖν εἶπεν αὐτοῖς· |
| | | b | ἐγώ εἰμι, |
| | | c | ἀπῆλθον εἰς τὰ ὀπίσω |
| | | d | καὶ ἔπεσαν χαμαί. |
| | 18,7 | a | πάλιν οὖν ἐπηρώτησεν αὐτούς· |
| | | b | τίνα ζητεῖτε; |
| | | c | οἱ δὲ εἶπαν |
| | | d | Ἰησοῦν τὸν Ναζωραῖον. |
| | 18,8 | a | ἀπεκρίθη Ἰησοῦς· |
| | | b | εἶπον ὑμῖν |
| | | c | ὅτι ἐγώ εἰμι. |
| | | d | εἰ οὖν ἐμὲ ζητεῖτε, |
| | | e | ἄφετε τούτους ὑπάγειν |
| | 18,9 | a | ἵνα πληρωθῇ ὁ λόγος |
| | | b | ὃν εἶπεν |
| | | c | ὅτι οὓς δέδωκάς μοι |
| | | d | οὐκ ἀπώλεσα ἐξ αὐτῶν οὐδένα. |
| B | 18,10 | a | Σίμων οὖν Πέτρος ἔχων μάχαιραν |
| | | b | εἵλκυσεν αὐτὴν |
| | | c | καὶ ἔπαισεν τὸν τοῦ ἀρχιερέως δοῦλον |
| | | d | καὶ ἀπέκοψεν αὐτοῦ τὸ ὠτάριον τὸ δεξιόν |
| | | e | ἦν δὲ ὄνομα τῷ δούλῳ Μάλχος. |
| | 18,11 | a | εἶπεν οὖν ὁ Ἰησοῦς τῷ Πέτρῳ· |
| | | b | βάλε τὴν μάχαιραν εἰς τὴν θήκην· |
| | | c | τὸ ποτήριον ὃ δέδωκέν μοι ὁ πατὴρ |
| | | d | οὐ μὴ πίω αὐτό; |
| X’ | 18,12 | a | Ἡ οὖν σπεῖρα καὶ ὁ χιλίαρχος |
| | | b | καὶ οἱ ὑπηρέται τῶν Ἰουδαίων |
| | | c | συνέλαβον τὸν Ἰησοῦν |
| | | d | καὶ ἔδησαν αὐτὸν |
| | 18,13 | a | καὶ ἤγαγον πρὸς Ἅνναν πρῶτον· |
| | | b | ἦν γὰρ πενθερὸς τοῦ Καϊάφα, |
| | | c | ὃς ἦν ἀρχιερεὺς τοῦ ἐνιαυτοῦ ἐκείνου· |
| | 18,14 | a | ἦν δὲ Καϊάφας ὁ συμβουλεύσας τοῖς Ἰουδαίοις |
| | | b | ὅτι συμφέρει ἕνα ἄνθρωπον |
| | | c | ἀποθανεῖν ὑπὲρ τοῦ λαοῦ. |

## Gv 18,15-27:

| | | | |
|---|---|---|---|
| Y | 18,15 | a | Ἠκολούθει δὲ τῷ Ἰησοῦ Σίμων Πέτρος καὶ ἄλλος μαθητής. |
| | | b | ὁ δὲ μαθητὴς ἐκεῖνος ἦν γνωστὸς τῷ ἀρχιερεῖ |
| | | c | καὶ συνεισῆλθεν τῷ Ἰησοῦ εἰς τὴν αὐλὴν τοῦ ἀρχιερέως, |
| | 18,16 | a | ὁ δὲ Πέτρος εἱστήκει πρὸς τῇ θύρᾳ ἔξω. |
| | | b | ἐξῆλθεν οὖν ὁ μαθητὴς ὁ ἄλλος |
| | | c | ὁ γνωστὸς τοῦ ἀρχιερέως |
| | | d | καὶ εἶπεν τῇ θυρωρῷ |
| | | e | καὶ εἰσήγαγεν τὸν Πέτρον. |
| | 18,17 | a | λέγει οὖν τῷ Πέτρῳ ἡ παιδίσκη ἡ θυρωρός· |
| | | b | μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν εἶ τοῦ ἀνθρώπου τούτου; |
| | | c | λέγει ἐκεῖνος· |
| | | d | οὐκ εἰμί. |
| | 18,18 | a | εἱστήκεισαν δὲ οἱ δοῦλοι καὶ οἱ ὑπηρέται |
| | | b | ἀνθρακιὰν πεποιηκότες, |
| | | c | ὅτι ψῦχος ἦν, |
| | | d | καὶ ἐθερμαίνοντο· |
| | | e | ἦν δὲ καὶ ὁ Πέτρος μετ᾽ αὐτῶν ἑστὼς |
| | | f | καὶ θερμαινόμενος. |
| A’ | 18,19 | a | Ὁ οὖν ἀρχιερεὺς ἠρώτησεν τὸν Ἰησοῦν |
| | | b | περὶ τῶν μαθητῶν αὐτοῦ |
| | | c | καὶ περὶ τῆς διδαχῆς αὐτοῦ. |
| | 18,20 | a | ἀπεκρίθη αὐτῷ Ἰησοῦς· |
| | | b | ἐγὼ παρρησίᾳ λελάληκα τῷ κόσμῳ, |
| | | c | ἐγὼ πάντοτε ἐδίδαξα ἐν συναγωγῇ καὶ ἐν τῷ ἱερῷ, |
| | | d | ὅπου πάντες οἱ Ἰουδαῖοι συνέρχονται, |
| | | e | καὶ ἐν κρυπτῷ ἐλάλησα οὐδέν. |
| | 18,21 | a | τί με ἐρωτᾷς; |
| | | b | ἐρώτησον τοὺς ἀκηκοότας |
| | | c | τί ἐλάλησα αὐτοῖς· |
| | | d | ἴδε οὗτοι οἴδασιν |
| | | e | ἃ εἶπον ἐγώ. |
| B’ | 18,22 | a | ταῦτα δὲ αὐτοῦ εἰπόντος |
| | | b | εἷς παρεστηκὼς τῶν ὑπηρετῶν |
| | | c | ἔδωκεν ῥάπισμα τῷ Ἰησοῦ εἰπών· |
| | | d | οὕτως ἀποκρίνῃ τῷ ἀρχιερεῖ; |
| | 18,23 | a | ἀπεκρίθη αὐτῷ Ἰησοῦς |
| | | b | εἰ κακῶς ἐλάλησα, |
| | | c | μαρτύρησον περὶ τοῦ κακοῦ· |
| | | d | εἰ δὲ καλῶς, |
| | | e | τί με δέρεις; |
| | 18,24 | a | ἀπέστειλεν οὖν αὐτὸν ὁ Ἅννας δεδεμένον |
| | | b | πρὸς Καϊάφαν τὸν ἀρχιερέα. |
| Y’ | 18,25 | a | Ἦν δὲ Σίμων Πέτρος ἑστὼς |
| | | b | καὶ θερμαινόμενος. |
| | | c | εἶπον οὖν αὐτῷ· |
| | | d | μὴ καὶ σὺ ἐκ τῶν μαθητῶν αὐτοῦ εἶ; |
| | | e | ἠρνήσατο ἐκεῖνος |
| | | f | καὶ εἶπεν· |
| | | g | οὐκ εἰμί. |
| | 18,26 | a | λέγει εἷς ἐκ τῶν δούλων τοῦ ἀρχιερέως, |
| | | b | συγγενὴς ὢν οὗ ἀπέκοψεν Πέτρος τὸ ὠτίον· |
| | | c | οὐκ ἐγώ σε εἶδον ἐν τῷ κήπῳ μετ᾽ αὐτοῦ; |
| | 18,27 | a | πάλιν οὖν ἠρνήσατο Πέτρος, |
| | | b | καὶ εὐθέως ἀλέκτωρ ἐφώνησεν. |

## 18,28-18,40

| | | | |
|---|---|---|---|
| A | 18,28 | a | Ἄγουσιν οὖν τὸν Ἰησοῦν |
| | | b | ἀπὸ τοῦ Καϊάφα εἰς τὸ πραιτώριον· |
| | | c | ἦν δὲ πρωΐ· |
| | | d | καὶ αὐτοὶ οὐκ εἰσῆλθον εἰς τὸ πραιτώριον, |
| | | e | ἵνα μὴ μιανθῶσιν |
| | | f | ἀλλὰ φάγωσιν τὸ πάσχα. |
| | 18,29 | a | ἐξῆλθεν οὖν ὁ Πιλᾶτος ἔξω πρὸς αυτοὺς |
| | | b | καὶ φησίν· |
| | | c | τίνα κατηγορίαν φέρετε [κατὰ] τοῦ ἀνθρώπου τούτου; |
| | 18,30 | a | ἀπεκρίθησαν |
| | | b | καὶ εἶπαν αὐτῷ· |
| | | c | εἰ μὴ ἦν οὗτος κακὸν ποιῶν, |
| | | d | οὐκ ἄν σοι παρεδώκαμεν αὐτόν. |
| | 18,31 | a | εἶπεν οὖν αὐτοῖς ὁ Πιλᾶτος· |
| | | b | λάβετε αὐτὸν ὑμεῖς |
| | | c | καὶ κατὰ τὸν νόμον ὑμῶν κρίνατε αὐτόν. |
| | | d | εἶπον αὐτῷ οἱ Ἰουδαῖοι· |
| | | e | ἡμῖν οὐκ ἔξεστιν |
| | | f | ἀποκτεῖναι οὐδένα· |
| | 18,32 | a | ἵνα ὁ λόγος τοῦ Ἰησοῦ πληρωθῇ |
| | | b | ὃν εἶπεν |
| | | c | σημαίνων |
| | | d | ποίῳ θανάτῳ ἤμελλεν ἀποθνῄσκειν. |
| B | 18,33 | a | Εἰσῆλθεν οὖν πάλιν εἰς τὸ πραιτώριον ὁ Πιλᾶτος |
| | | b | καὶ ἐφώνησεν τὸν Ἰησοῦν |
| | | c | καὶ εἶπεν αὐτῷ· |
| | | d | σὺ εἶ ὁ βασιλεὺς τῶν Ἰουδαίων; |
| | 18,34 | a | ἀπεκρίθη Ἰησοῦς· |
| | | b | ἀπὸ σεαυτοῦ σὺ τοῦτο λέγεις |
| | | c | ἢ ἄλλοι εἶπόν σοι περὶ ἐμοῦ; |
| | 18,35 | a | ἀπεκρίθη ὁ Πιλᾶτος· |
| | | b | μήτι ἐγὼ Ἰουδαῖός εἰμι; |
| | | c | τὸ ἔθνος τὸ σὸν καὶ οἱ ἀρχιερεῖς παρέδωκάν σε ἐμοί· |
| | | d | τί ἐποίησας; |
| | 18,36 | a | ἀπεκρίθη Ἰησοῦς· |
| | | b | ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐκ τοῦ κόσμου τούτου· |
| | | c | εἰ ἐκ τοῦ κόσμου τούτου ἦν ἡ βασιλεία ἡ ἐμή, |
| | | d | οἱ ὑπηρέται οἱ ἐμοὶ ἠγωνίζοντο [ἂν] |
| | | e | ἵνα μὴ παραδοθῶ τοῖς Ἰουδαίοις· |
| | | f | νῦν δὲ ἡ βασιλεία ἡ ἐμὴ οὐκ ἔστιν ἐντεῦθεν. |
| | 18,37 | a | εἶπεν οὖν αὐτῷ ὁ Πιλᾶτος· |
| | | b | οὐκοῦν βασιλεὺς εἶ σύ; |
| | | c | ἀπεκρίθη ὁ Ἰησοῦς· |
| | | d | σὺ λέγεις |
| | | e | ὅτι βασιλεύς εἰμι. |
| | | f | ἐγὼ εἰς τοῦτο γεγέννημαι |
| | | g | καὶ εἰς τοῦτο ἐλήλυθα εἰς τὸν κόσμον, |
| | | i | ἵνα μαρτυρήσω τῇ ἀληθείᾳ· |
| | | j | πᾶς ὁ ὢν ἐκ τῆς ἀληθείας |
| | | k | ἀκούει μου τῆς φωνῆς. |
| | 18,38 | a | λέγει αὐτῷ ὁ Πιλᾶτος· |
| | | b | τί ἐστιν ἀλήθεια; |
| C | | c | Καὶ τοῦτο εἰπὼν πάλιν ἐξῆλθεν πρὸς τοὺς Ἰουδαίους |
| | | d | καὶ λέγει αὐτοῖς· |
| | | c | ἐγὼ οὐδεμίαν εὑρίσκω ἐν αὐτῷ αἰτίαν. |
| | 18,39 | a | ἔστιν δὲ συνήθεια ὑμῖν |
| | | b | ἵνα ἕνα ἀπολύσω ὑμῖν ἐν τῷ πάσχα· |
| | | c | βούλεσθε οὖν |
| | | d | ἀπολύσω ὑμῖν |
| | | e | τὸν βασιλέα τῶν Ἰουδαίων; |
| | 18,40 | a | ἐκραύγασαν οὖν πάλιν λέγοντες· |
| | | b | μὴ τοῦτον ἀλλὰ τὸν Βαραββᾶν. |
| | | c | ἦν δὲ ὁ Βαραββᾶς λῃστής. |

## 19,1-15

| | | | |
|---|---|---|---|
| D | 19,1 | a | Τότε οὖν ἔλαβεν ὁ Πιλᾶτος τὸν Ἰησοῦν |
| | | b | καὶ ἐμαστίγωσεν. |
| | 19,2 | a | καὶ οἱ στρατιῶται πλέξαντες στέφανον ἐξ ἀκανθῶν |
| | | b | ἐπέθηκαν αὐτοῦ τῇ κεφαλῇ |
| | | c | καὶ ἱμάτιον πορφυροῦν περιέβαλον αὐτὸν |
| | 19,3 | a | καὶ ἤρχοντο πρὸς αὐτὸν |
| | | b | καὶ ἔλεγον· |
| | | c | χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων· |
| | | d | καὶ ἐδίδοσαν αὐτῷ ῥαπίσματα. |
| A’ | 19,4 | a | Καὶ ἐξῆλθεν πάλιν ἔξω ὁ Πιλᾶτος |
| | | b | καὶ λέγει αὐτοῖς· |
| | | c | ἴδε ἄγω ὑμῖν αὐτὸν ἔξω, |
| | | d | ἵνα γνῶτε |
| | | e | ὅτι οὐδεμίαν αἰτίαν εὑρίσκω ἐν αὐτῷ. |
| | 19,5 | a | ἐξῆλθεν οὖν ὁ Ἰησοῦς ἔξω, |
| | | b | φορῶν τὸν ἀκάνθινον στέφανον |
| | | c | καὶ τὸ πορφυροῦν ἱμάτιον. |
| | | d | καὶ λέγει αὐτοῖς· |
| | | e | ἰδοὺ ὁ ἄνθρωπος. |
| | 19,6 | a | Ὅτε οὖν εἶδον αὐτὸν οἱ ἀρχιερεῖς καὶ οἱ ὑπηρέται |
| | | b | ἐκραύγασαν λέγοντες· |
| | | c | σταύρωσον σταύρωσον. |
| | | d | λέγει αὐτοῖς ὁ Πιλᾶτος· |
| | | e | λάβετε αὐτὸν ὑμεῖς |
| | | f | καὶ σταυρώσατε· |
| | | g | ἐγὼ γὰρ οὐχ εὑρίσκω ἐν αὐτῷ αἰτίαν. |
| | 19,7 | a | ἀπεκρίθησαν αὐτῷ οἱ Ἰουδαῖοι· |
| | | b | ἡμεῖς νόμον ἔχομεν |
| | | c | καὶ κατὰ τὸν νόμον ὀφείλει ἀποθανεῖν, |
| | | d | ὅτι υἱὸν θεοῦ ἑαυτὸν ἐποίησεν. |
| B’ | 19,8 | a | Ὅτε οὖν ἤκουσεν ὁ Πιλᾶτος τοῦτον τὸν λόγον, |
| | | b | μᾶλλον ἐφοβήθη, |
| | 19,9 | a | καὶ εἰσῆλθεν εἰς τὸ πραιτώριον πάλιν |
| | | b | καὶ λέγει τῷ Ἰησοῦ· |
| | | c | πόθεν εἶ σύ; |
| | | d | ὁ δὲ Ἰησοῦς ἀπόκρισιν οὐκ ἔδωκεν αὐτῷ. |
| | 19,10 | a | λέγει οὖν αὐτῷ ὁ Πιλᾶτος· |
| | | b | ἐμοὶ οὐ λαλεῖς; |
| | | c | οὐκ οἶδας |
| | | d | ὅτι ἐξουσίαν ἔχω ἀπολῦσαί σε |
| | | e | καὶ ἐξουσίαν ἔχω σταυρῶσαί σε; |
| | 19,11 | a | ἀπεκρίθη [αὐτῷ] Ἰησοῦς· |
| | | b | οὐκ εἶχες ἐξουσίαν κατ’ ἐμοῦ οὐδεμίαν |
| | | c | εἰ μὴ ἦν δεδομένον σοι ἄνωθεν· |
| | | d | διὰ τοῦτο ὁ παραδούς μέ σοι |
| | | e | μείζονα ἁμαρτίαν ἔχει. |
| | 19,12 | a | ἐκ τούτου ὁ Πιλᾶτος ἐζήτει ἀπολῦσαι αὐτόν· |
| | | b | οἱ δὲ Ἰουδαῖοι ἐκραύγασαν λέγοντες· |
| | | c | ἐὰν τοῦτον ἀπολύσῃς, |
| | | d | οὐκ εἶ φίλος τοῦ Καίσαρος· |
| | | e | πᾶς ὁ βασιλέα ἑαυτὸν ποιῶν |
| | | f | ἀντιλέγει τῷ Καίσαρι. |
| C’ | 19,13 | a | ὁ οὖν Πιλᾶτος ἀκούσας τῶν λόγων τούτων |
| | | b | ἤγαγεν ἔξω τὸν Ἰησοῦν |
| | | c | καὶ ἐκάθισεν ἐπὶ βήματος |
| | | d | εἰς τόπον λεγόμενον λιθόστρωτον, |
| | | e | Ἑβραϊστὶ δὲ Γαββαθα. |
| | 19,14 | a | ἦν δὲ παρασκευὴ τοῦ πάσχα, |
| | | b | ὥρα ἦν ὡς ἕκτη. |
| | | c | καὶ λέγει τοῖς Ἰουδαίοις· |
| | | d | ἴδε ὁ βασιλεὺς ὑμῶν. |
| | 19,15 | a | ἐκραύγασαν οὖν ἐκεῖνοι· |
| | | b | ἆρον ἆρον,σταύρωσον αὐτόν. |
| | | c | λέγει αὐτοῖς ὁ Πιλᾶτος· |
| | | d | τὸν βασιλέα ὑμῶν σταυρώσω; |
| | | e | ἀπεκρίθησαν οἱ ἀρχιερεῖς· |
| | | f | οὐκ ἔχομεν βασιλέα εἰ μὴ Καίσαρα. |

## 19,16-30:

| | | | |
|---|---|---|---|
| X | 19,16 | a | Τότε οὖν παρέδωκεν αὐτὸν αὐτοῖς |
| | | b | ἵνα σταυρωθῇ. |
| | | c | Παρέλαβον οὖν τὸν Ἰησοῦν, |
| | 19,17 | a | καὶ βαστάζων ἑαυτῷ τὸν σταυρὸν |
| | | b | ἐξῆλθεν εἰς τὸν λεγόμενον Κρανίου Τόπον, |
| | | c | ὃ λέγεται Ἑβραϊστὶ Γολγοθα, |
| | 19,18 | a | ὅπου αὐτὸν ἐσταύρωσαν, |
| | | b | καὶ μετ' αὐτοῦ ἄλλους δύο |
| | | c | ἐντεῦθεν καὶ ἐντεῦθεν, |
| | | d | μέσον δὲ τὸν Ἰησοῦν. |
| | 19,19 | a | ἔγραψεν δὲ καὶ τίτλον ὁ Πιλᾶτος |
| | | b | καὶ ἔθηκεν ἐπὶ τοῦ σταυροῦ· |
| | | c | ἦν δὲ γεγραμμένον· |
| | | d | Ἰησοῦς ὁ Ναζωραῖος |
| | | e | ὁ βασιλεὺς τῶν Ἰουδαίων. |
| | 19,20 | a | τοῦτον οὖν τὸν τίτλον πολλοὶ ἀνέγνωσαν τῶν Ἰουδαίων, |
| | | b | ὅτι ἐγγὺς ἦν ὁ τόπος τῆς πόλεως |
| | | c | ὅπου ἐσταυρώθη ὁ Ἰησοῦς· |
| | | d | καὶ ἦν γεγραμμένον |
| | | e | Ἑβραϊστί, Ῥωμαϊστί, Ἑλληνιστί. |
| | 19,21 | a | ἔλεγον οὖν τῷ Πιλάτῳ οἱ ἀρχιερεῖς τῶν Ἰουδαίων· |
| | | b | μὴ γράφε· |
| | | c | ὁ βασιλεὺς τῶν Ἰουδαίων, |
| | | d | ἀλλ' ὅτι ἐκεῖνος εἶπεν· |
| | | e | βασιλεύς εἰμι τῶν Ἰουδαίων. |
| | 19,22 | a | ἀπεκρίθη ὁ Πιλᾶτος· |
| | | b | ὃ γέγραφα, |
| | | c | γέγραφα. |
| A | 19,23 | a | Οἱ οὖν στρατιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, |
| | | b | ἔλαβον τὰ ἱμάτια αὐτοῦ |
| | | c | καὶ ἐποίησαν τέσσαρα μέρη, |
| | | d | ἑκάστῳ στρατιώτῃ μέρος, |
| | | e | καὶ τὸν χιτῶνα. |
| | | f | ἦν δὲ ὁ χιτὼν ἄραφος, |
| | | g | ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου. |
| | 19,24 | a | εἶπαν οὖν πρὸς ἀλλήλους· |
| | | b | μὴ σχίσωμεν αὐτόν, |
| | | c | ἀλλὰ λάχωμεν περὶ αὐτοῦ |
| | | d | τίνος ἔσται· |
| | | e | ἵνα ἡ γραφὴ πληρωθῇ [ἡ λέγουσα]· |
| | | f | διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς |
| | | g | καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. |
| B | | h | Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίησαν. |
| | 19,25 | a | Εἱστήκεισαν δὲ παρὰ τῷ σταυρῷ τοῦ Ἰησοῦ |
| | | b | ἡ μήτηρ αὐτοῦ καὶ ἡ ἀδελφὴ τῆς μητρὸς αὐτοῦ, |
| | | c | Μαρία ἡ τοῦ Κλωπᾶ καὶ Μαρία ἡ Μαγδαληνή. |
| | 19,26 | a | Ἰησοῦς οὖν ἰδὼν τὴν μητέρα |
| | | b | καὶ τὸν μαθητὴν παρεστῶτα ὃν ἠγάπα, |
| | | c | λέγει τῇ μητρί· |
| | | d | γύναι, ἴδε ὁ υἱός σου. |
| | 19,27 | a | εἶτα λέγει τῷ μαθητῇ· |
| | | b | ἴδε ἡ μήτηρ σου. |
| | | c | καὶ ἀπ' ἐκείνης τῆς ὥρας |
| | | d | ἔλαβεν ὁ μαθητὴς αὐτὴν εἰς τὰ ἴδια. |
| X' | 19,28 | a | Μετὰ τοῦτο εἰδὼς ὁ Ἰησοῦς |
| | | b | ὅτι ἤδη πάντα τετέλεσται, |
| | | c | ἵνα τελειωθῇ ἡ γραφή, |
| | | d | λέγει· |
| | | e | διψῶ. |
| | 19,29 | a | σκεῦος ἔκειτο ὄξους μεστόν· |
| | | b | σπόγγον οὖν μεστὸν τοῦ ὄξους ὑσσώπῳ περιθέντες |
| | | c | προσήνεγκαν αὐτοῦ τῷ στόματι. |
| | 19,30 | a | ὅτε οὖν ἔλαβεν τὸ ὄξος [ὁ] Ἰησοῦς |
| | | b | εἶπεν· |
| | | c | τετέλεσται, |
| | | d | καὶ κλίνας τὴν κεφαλὴν |
| | | e | παρέδωκεν τὸ πνεῦμα. |

## 19,31-42:

| | | | |
|---|---|---|---|
| Y | 19,31 | a | Οἱ οὖν Ἰουδαῖοι, ἐπεὶ παρασκευὴ ἦν, |
| | | b | ἵνα μὴ μείνῃ ἐπὶ τοῦ σταυροῦ τὰ σώματα ἐν τῷ σαββάτῳ, |
| | | c | ἦν γὰρ μεγάλη ἡ ἡμέρα ἐκείνου τοῦ σαββάτου, |
| | | d | ἠρώτησαν τὸν Πιλᾶτον |
| | | e | ἵνα κατεαγῶσιν αὐτῶν τὰ σκέλη |
| | | f | καὶ ἀρθῶσινα |
| A' | 19,32 | a | ἦλθον οὖν οἱ στρατιῶται |
| | | b | καὶ τοῦ μὲν πρώτου κατέαξαν τὰ σκέλη |
| | | c | καὶ τοῦ ἄλλου τοῦ συσταυρωθέντος αὐτῷ· |
| | 19,33 | a | ἐπὶ δὲ τὸν Ἰησοῦν ἐλθόντες, |
| | | b | ὡς εἶδον ἤδη αὐτὸν τεθνηκότα, |
| | | c | οὐ κατέαξαν αὐτοῦ τὰ σκέλη, |
| | 19,34 | a | ἀλλ' εἷς τῶν στρατιωτῶν |
| | | b | λόγχῃ αὐτοῦ τὴν πλευρὰν ἔνυξεν, |
| | | c | καὶ ἐξῆλθεν εὐθὺς αἷμα καὶ ὕδωρ. |
| | 19,35 | a | καὶ ὁ ἑωρακὼς μεμαρτύρηκεν, |
| | | b | καὶ ἀληθινὴ αὐτοῦ ἐστιν ἡ μαρτυρία, |
| | | c | καὶ ἐκεῖνος οἶδεν |
| | | d | ὅτι ἀληθῆ λέγει, |
| | | e | ἵνα καὶ ὑμεῖς πιστεύ[σ]ητε. |
| | 19,36 | a | ἐγένετο γὰρ ταῦτα |
| | | b | ἵνα ἡ γραφὴ πληρωθῇ· |
| | | c | ὀστοῦν οὐ συντριβήσεται αὐτοῦ. |
| | 19,37 | a | καὶ πάλιν ἑτέρα γραφὴ λέγει· |
| | | b | ὄψονται |
| | | c | εἰς ὃν ἐξεκέντησαν. |
| B' | 19,38 | a | Μετὰ δὲ ταῦτα ἠρώτησεν τὸν Πιλᾶτον |
| | | b | Ἰωσὴφ [ὁ] ἀπὸ Ἁριμαθαίας, |
| | | c | ὢν μαθητὴς τοῦ Ἰησοῦ |
| | | d | κεκρυμμένος δὲ διὰ τὸν φόβον τῶν Ἰουδαίων, |
| | | e | ἵνα ἄρῃ τὸ σῶμα τοῦ Ἰησοῦ· |
| | | f | καὶ ἐπέτρεψεν ὁ Πιλᾶτος. |
| | | g | ἦλθεν οὖν |
| | | h | καὶ ἦρεν τὸ σῶμα αὐτοῦ. |
| | 19,39 | a | ἦλθεν δὲ καὶ Νικόδημος, |
| | | b | ὁ ἐλθὼν πρὸς αὐτὸν νυκτὸς τὸ πρῶτον, |
| | | c | φέρων μίγμα σμύρνης καὶ ἀλόης |
| | | d | ὡς λίτρας ἑκατόν. |
| | 19,40 | a | ἔλαβον οὖν τὸ σῶμα τοῦ Ἰησοῦ |
| | | b | καὶ ἔδησαν αὐτὸ ὀθονίοις μετὰ τῶν ἀρωμάτων, |
| | | c | καθὼς ἔθος ἐστὶν τοῖς Ἰουδαίοις ἐνταφιάζειν. |
| Y' | 19,41 | a | ἦν δὲ ἐν τῷ τόπῳ |
| | | b | ὅπου ἐσταυρώθη κῆπος, |
| | | c | καὶ ἐν τῷ κήπῳ μνημεῖον καινὸν |
| | | d | ἐν ᾧ οὐδέπω οὐδεὶς ἦν τεθειμένος· |
| | 19,42 | a | ἐκεῖ οὖν διὰ τὴν παρασκευὴν τῶν Ἰουδαίων, |
| | | b | ὅτι ἐγγὺς ἦν τὸ μνημεῖον, |
| | | c | ἔθηκαν τὸν Ἰησοῦν. |